# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: mmg-bl

*Ἀνώνυμος ἱστορικός (ἀποσπάσματα)* · Historical Fragments Anonymous

# On Lesbos

*Περὶ Λέσβου*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Μικταὶ διάλεκτοι* Mixed Dialects (frg)
**Domain:** *Ἱστορία* History
**Format:** *Συναγωγή* Collection

3b,479,F 1 PARTHEN. Narr. am. 21: Περὶ Πεισιδίκης. λέγεται δὲ καὶ ὅτε Ἀχιλλεὺς πλέων τὰς προσεχεῖς τῆι ἠπείρωι νήσους ἐπόρθει, προσσχεῖν αὐτὸν Λέσβωι· ἔνθα δὴ καθ' ἑκάστην τῶν πόλεων αὐτὸν ἐπιόντα κεραίζειν. (2) ὡς δὲ οἱ Μήθυμναν οἰκοῦντες μάλα κρατερῶς ἀντεῖχον, καὶ ἐν πολλῆι ἀμηχανίαι ἦν διὰ τὸ μὴ δύνασθαι ἑλεῖν τὴν πόλιν, Πεισιδίκην τινὰ Μηθυμναίαν, τοῦ βασιλέως θυγατέρα, θεασαμένην ἀπὸ τοῦ τείχους τὸν Ἀχιλλέα ἐρασθῆναι αὐτοῦ, καὶ οὕτως τὴν τροφὸν διαπεμψαμένην ὑπισχνεῖσθαι ἐγχειρίσειν αὐτῶι τὴν πόλιν, εἴγε μέλλοι αὐτὴν γυναῖκα ἕξειν. (3) ὁ δὲ τὸ μὲν παραυτίκα καθωμολογήσατο· ἐπεὶ μέντοι ἐγκρατὴς 〈τῆσ〉 πόλεως ἐγένετο, νεμεσήσας ἐπὶ τῶι δρασθέντι προυτρέψατο τοὺς στρατιώτας καταλεῦσαι τὴν κόρην. (4) μέμνηται τοῦ πάθους τοῦδε καὶ ὁ τὴν Λέσβου κτίσιν ποιήσας ἐν τοῖσδε· « ἔνθα δὲ Πηλείδης κατὰ μὲν κτάνε Λάμπετον Ἴρο υ , / ἐκ δ ' Ἱκετάονα πέφνε ν , ἰθαιγενέος Λεπετύμνου / υἱέα Μηθύμνης τ ε , καὶ ἀλκηέστατον ἄλλων / αὐτοκασίγνητον Ἑλικάονος ἔνδοθι πάτρης / τηλίκον Ὑψίπυλον · θαλερὴ δέ μιν ἄασε Κύπρι ς . / ἣ γὰρ ἐ π ' Αἰακίδηι κούρηι φρένας ἐκπτοίησεν / Πεισιδίκη ι , ὅτε τόν γε μετὰ προμάχοισιν Ἀχαιῶν / χάρμηι ἀγαλλόμενον θηέσκετ ο , πολλὰ δ ' ἐς ὑγρὴν / ἠέρα χεῖρας ἔτεινεν ἐελδομένη φιλότητο ς» . εἶτα μικρὸν ὑποβάς· « δέκτο μὲν αὐτίκα λαὸν Ἀχαιικὸν ἔνδοθι πάτρης / παρθενικὴ κληῖδας ὑποχλίσσασα πυλάων · / ἔτλη δ ' οἷσιν ἰδέσθαι ἐν ὀφθαλμοῖσι τοκῆας / χαλκῶι ἐληλαμένους καὶ δούλια δεσμὰ γυναικῶν / ἑλκομένων ἐπὶ νῆας ὑποσχεσίηι ς ' Ἀχιλῆο ς , / ὄφρα νυὸς γλαυκῆς Θέτιδος πέλο ι , ὄφρα οἱ εἶεν / πενθεροὶ Αἰακίδα ι , Φθίηι δ ' ἐνὶ δώματα ναίοι / ἀνδρὸς ἀριστῆος πινυτὴ δάμαρ ( οὐ δ ' ὅ γ ' ἔμελλεν / τὰ ῥέξει ν) , ὀλοῶι δ ' ἐπαγάσσετο πατρίδος οἴτω ι . / ἔν θ ' ἥ γ ' αἰνότατον γάμον εἴσιδε Πηλείδαο / Ἀργείων ὑπὸ χερσὶ δυσάμμορο ς , οἵ μιν ἔπεφνον / πανσυδίηι θαμινῆισιν ἀράσσοντες λιθάδεσσι ν» .

3b,479,F 2 PAUSAN. 10, 19, 3: τὸ ἀπὸ τούτου δὲ ἔρχομαι διηγησόμενος λόγον Λέσβιον. ἁλιεῦσιν ἐν Μηθύμνηι τὰ δίκτυα ἀνείλκυσεν ἐκ θαλάσσης πρόσωπον ἐλαίας ξύλου πεποιημένον· τοῦτο ἰδέαν παρείχετο φέρουσαν μὲν [τοι] ἐς τὸ θεῖον, ξένην δὲ καὶ ἐπὶ θεοῖς Ἑλληνικοῖς οὐ καθεστῶσαν. εἴροντο οὖν οἱ Μηθυμναῖοι τὴν Πυθίαν ὅτου θεῶν ἢ καὶ ἡρώων ἐστὶν ἡ εἰκών, ἡ δὲ αὐτοὺς σέβεσθαι Διονύσου κεφαλὴν Φαλλῆνος ἐκέλευσεν. ἐπὶ τούτωι οἱ Μηθυμναῖοι ξόανον μὲν τὸ ἐκ τῆς θαλάσσης παρὰ σφίσιν ἔχοντες καὶ θυσίαις καὶ εὐχαῖς τιμῶσι, χαλκοῦν δὲ ἀποπέμπουσιν ἐς Δελφούς.